www.XtremePapers.com

Cambridge Pre-U

**Cambridge International Examinations**
Cambridge International Level 3 Pre-U Certificate

**CLASSICAL GREEK** **9787/03**

Paper 3 Unseen Translation **May/June 2014**

**2 hours**

Additional Materials: Answer Booklet/Paper

**READ THESE INSTRUCTIONS FIRST**

If you have been given an Answer Booklet, follow the instructions on the front cover of the Booklet.
Write your Centre number, candidate number and name on all the work you hand in.
Write in dark blue or black pen.
Do not use staples, paper clips, glue or correction fluid.
DO **NOT** WRITE IN ANY BARCODES.

Answer **both** questions.

Write your translations on alternate lines.

At the end of the examination, fasten all your work securely together.
The number of marks is given in brackets [ ] at the end of each question or part question.

This document consists of **3** printed pages and **1** blank page.

NL 82934/2
© UCLES 2014

CAMBRIDGE International Examinations

**[Turn over**

**1** Translate into English. Write your translation on **alternate** lines.

*At a dangerous moment during his campaign against his brother, the Persian King Artaxerxes, Cyrus has promised to give a rich reward to the Greek mercenaries who are fighting with him. He here reassures the Samian Gaulites that he does have at his disposal the means to do this.*

ἐνταῦθα Γαυλίτης παρών, φυγὰς Σάμιος, πιστὸς δὲ Κύρῳ, εἶπεν· ‘καὶ μήν, ὦ Κῦρε, λέγουσί τινες ὅτι πολλὰ ὑπισχνῇ νῦν διὰ τὸ ἐν τοιούτῳ εἶναι τοῦ κινδύνου προσιόντος· ἐὰν δὲ εὖ γένηταί τι, οὐ μεμνήσεσθαί σέ φασιν· ἔνιοι δ᾽ οὔ φασί σε, οὐδ᾽ εἰ μεμνῇό τε καὶ βούλοιο, δύνασθαι ἂν ἀποδοῦναι ὅσα ὑπισχνῇ.’ ἀκούσας ταῦτα ἔλεξεν ὁ Κῦρος· ‘ἀλλ᾽ ἔστι μὲν ἡμῖν, ὦ ἄνδρες, ἀρχὴ πατρῷα πρὸς μὲν μεσημβρίαν[1] μέχρι οὗ διὰ καῦμα οὐ δύνανται οἰκεῖν ἄνθρωποι, πρὸς δὲ ἄρκτον μέχρι οὗ διὰ χειμῶνα· τὰ δ᾽ ἐν μέσῳ τούτων πάντα σατραπεύουσιν[2] οἱ τοῦ ἐμοῦ ἀδελφοῦ φίλοι. ἐὰν δ᾽ ἡμεῖς νικήσωμεν, ἡμᾶς δεῖ τοὺς ἡμετέρους φίλους τούτων τῶν χωρίων ἐγκρατεῖς ποιῆσαι. ὥστε οὐ τοῦτο δέδοικα, μὴ οὐκ ἔχω ὅ τι δῶ ἑκάστῳ τῶν φίλων, ἐὰν εὖ γένηται, ἀλλὰ μὴ οὐχ ἱκανοὺς ἔχω φίλους οἷς δῶ. ὑμῶν δὲ τῶν Ἑλλήνων καὶ στέφανον ἑκάστῳ χρυσοῦν δώσω.’ οἱ δὲ ταῦτα ἀκούσαντες αὐτοί τε ἦσαν πολὺ προθυμότεροι καὶ τοῖς ἄλλοις ἐξήγγελλον.

Xenophon, *Anabasis*, 1.7.5–8 (slightly adapted)

[1] ἡ μεσημβρία -ας — the south
[2] σατραπεύω — I govern as satrap (*the local governor of a Persian province*)

[45 + 5 for style and fluency]

**[Total: 50]**

© UCLES 2014

**2** **(a)** Translate into English. Write your translation on **alternate** lines.

*A messenger reports the last words of Polynices as he and his brother lie dying after fatally wounding each other in single combat. Overcome by grief, their mother kills herself.*

ὃ δ᾽ ἦν ἔτ᾽ ἔμπνους[1], πρὸς κασιγνήτην δ᾽ ἰδὼν
γραῖάν τε μητέρ᾽ εἶπε Πολυνείκης τάδε·
‘ἀπωλόμεσθα, μῆτερ· οἰκτίρω δὲ σὲ
καὶ τήνδ᾽ ἀδελφὴν καὶ κασίγνητον νεκρόν.
φίλος γὰρ ἐχθρὸς ἐγένετ᾽, ἀλλ᾽ ὅμως φίλος.
θάψον δέ μ᾽, ὦ τεκοῦσα, καὶ σύ, σύγγονε,
ἐν γῇ πατρῴᾳ, καὶ πόλιν θυμουμένην
παρηγορεῖτον[2], ὡς τοσόνδε γοῦν τύχω
χθονὸς πατρῴας, κεἰ δόμους ἀπώλεσα.
ξυνάρμοσον[3] δὲ βλέφαρά μου τῇ σῇ χερί,
μῆτερ’ — τίθησι δ᾽ αὐτὸς ὀμμάτων ἔπι —
‘καὶ χαίρετ᾽· ἤδη γάρ με περιβάλλει σκότος.’ 12
ἄμφω δ᾽ ἅμ᾽ ἐξέπνευσαν ἄθλιον βίον. 13
μήτηρ δ᾽, ὅπως ἐσεῖδε τήνδε συμφοράν,
ὑπερπαθήσασ᾽, ἥρπασ᾽ ἐκ νεκρῶν ξίφος
κἄπραξε δεινά· διὰ μέσου γὰρ αὐχένος
ὠθεῖ σίδηρον, ἐν δὲ τοῖσι φιλτάτοις
θανοῦσα κεῖται περιβαλοῦσ᾽ ἀμφοῖν χέρας.

Euripides, *Phoenissae*, 1442–59

[1] ἔμπνους — breathing, alive
[2] παρηγορέω — I appease; παρηγορεῖτον is 2nd pers., pres. imperative dual.
[3] ξυναρμόζω — (here) I close

[45]

**(b)** Write out and scan lines 12 and 13 marking in the quantities, divisions between feet and main caesurae. [5]

**[Total: 50]**

BLANK PAGE

Permission to reproduce items where third-party owned material protected by copyright is included has been sought and cleared where possible. Every reasonable effort has been made by the publisher (UCLES) to trace copyright holders, but if any items requiring clearance have unwittingly been included, the publisher will be pleased to make amends at the earliest possible opportunity.

Cambridge International Examinations is part of the Cambridge Assessment Group. Cambridge Assessment is the brand name of University of Cambridge Local Examinations Syndicate (UCLES), which is itself a department of the University of Cambridge.

© UCLES 2014